A

ΣΤΡΟΦΗ κώλων ιβʹ.

Χο. Ω Φίλτατ' ἐμοὶ πολὺ πρεσβυτῶν ἐξ ἐχθί-
στου μεταπίπτων.
Οὐκ ἔστιν ὅπως ἂν ἐγώ ποθ' ἑκὼν τῆς σῆς γνώμης
ἔτ' ἀφείμην.
B Ἐπαυχήσας δὲ τοῖσι σοῖς λόγοις,
Ἐπηπείλησα, καὶ κατώμοσα.
Ἢν σὺ παρ' ἐμὲ θέμενος
Ὁμόφρονας λόγους δικαίους
Ἀδόλους, ὁσίους,
Ἐπὶ θεοὺς ἴοις, ἐμοὶ
Φρονῶν ξυνῳδά, μὴ πολὺν χρόνον
Θεοὺς ἔτι σκῆπτρα τἀμὰ τρίψειν.
Ἀλλ' ὅσα μὲν δεῖ ῥώμῃ πράττειν, ἐπὶ ταῦτα τε-
ταξόμεθ' ἡμεῖς.
C Ὅσα δὲ γνώμῃ δεῖ βουλεύειν, ἐπὶ σοὶ τάδε πάντ'
ἀνάκειται.

INVERSIO membrorum duodecim.

CH. O Amicissime mihi multo senum ex i-
nimicissimo incidens.
Non est vt ego volens tuam sententiam amplius
dimittam.
Glorians autem tuis verbis,
Minatus sum & iuraui,
Si tu apud me ponens
Concordes sermones iustos,
Non dolosos, sanctos,
In Deos ibis mihi,
Sapiens eosdem cantus non multo tempore,
Deos adhuc sceptra mea terere:
Sed quaecunque quidem oportet fortitudine fa-
cere, in haec ordinabimus nos,
Quaecunque quidem sententia oportet consulta-
re, in te haec omnia incumbunt.

Σχόλια. Ὦ φίλτατ' ἐμοί.] κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μὴ τὴν διπλῆν τίθεσθαι. προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου στίχων καὶ κώλων δυοκαίδεκα ὧν ὁ πρῶτος καὶ δεύτερος καὶ ἑν-δέκατος καὶ δωδέκατος, ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί. ὁ τρίτος ἀσυνάρτητος ἐξ ἀναπαιστικῶν πενθημιμερῶν ἐξ ἀναπαιστικοῦ πενθημιμεροῦς αἰολικοῦ διὰ τὸ ἔχειν τὸν πρῶτον πόδα ἴαμβον καὶ τροχαϊκοῦ ὁμοίου πενθημιμεροῦς. ὁ τέταρτος ὅμοιος. τὸ πέμπτον ἀναπαιστικὸν πενθημιμερὲς τὸν δεύτερον ἔχον πόδα τετράβραχυν. τὸ ἕκτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον τὸν πρῶτον ἔχον πόδα τρίβραχυν. τὸ ἕβδομον, ἀναπαιστικὴ βάσις. τὸ ὄγδοον τροχαϊκὸν ἐφθημιμερὲς τὸν πρῶτον ἔχον πόδα τρίβραχυν. ὁ ἔννατος ἰαμβικὸς τρίμετρος βραχυκατάληκτος. ὁ δέκατος ἀσυνάρτητος ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει κορωνίς. Ἐξ ἐχθίστου] ἀπὸ τῆς ἔχθρας εἰς φιλίαν μεταπίπτων. Ἐπαυχήσας] μεγαλοφρονήσας διὰ τοὺς σῶν λόγων. Ἐπηπείλησα] D ἐπαγγειλάμενος ὤμοσα. Τἀμὰ τρίψειν.] χαριέντως εἶπε τρίψειν καὶ ὡς ἐπὶ ἐσθῆτος. Καὶ μὴν μὰ τὸν Δία.] εἴσθεσις περιόδου ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων εἴκοσι. ὧν τελευταῖος καὶ Μανόδωρε λαμβάνετε τὰ στρώματα. ἐν εἰσθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι. ἐπὶ τῇ ἀποθέσει παράγραφος.

E

ΣΥΣΤΗΜΑ κατὰ περικοπήν.
ἐκ στίχων κʹ.

Ἐπ. Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν ἔτι
Ὥρα 'στὶν ἡμῖν, οὐδὲ μελλονικιᾷν,
Ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν, πρῶτον δέ τε
Ἐσέλθετ' εἰς νεοττιάν γε τὴν ἐμήν.
Καὶ τὰ 'μὰ κάρφη, καὶ τὰ παρόντα φρύγανα.
F Καὶ τοὔνομ' ἡμῖν φράσατον, ἀλλὰ ῥᾴδιον.
Πι. Ἐμοὶ μὲν ὄνομα Πισθέταιρος. Ἐπ. τῷ δὲ
τί;
Πι. Εὐελπίδης Θριῆθεν. Ἐπ. ἀλλὰ χαίρετον.
Πι. Ἄμφω δεχόμεθα. Ἐπ. δεῦρο τοίνυν εἰσί-
τον.
Πι. Ἴωμεν. εἰσηγοῦ σὺ λαβὼν ἡμᾶς. Ἐπ. ἴθι.
Πι. Ἀτὰρ τὸ δεῖν' ἐπανάκρουσαι πάλιν. Ἐπ.
φέρ' ἴδω.
G Πι. Φράσον γε νῷν, ὅπως ἐγώ τε χ' οὑτοσί
Ξυνεσόμεθ' ὑμῖν πετομένοις οὐ πετομένω:

CONSTITVTIO per circunci-
sionem.

EP. ET quidem per Iouem non dormitare
amplius
Hora est nobis, neque tarde vincere,
Sed quam citissime oportet aliquid facere. pri-
mum autem
Intrare in nidum meum,
Et meas festucas, & praesentia sarmenta,
Et nomen nobis dic, sed facile.
PI. Mihi quidem nomen Pisthetarus. EP. Huic
autem quod?
PI. Euelpides ex Thracia. EP. Sed gaudete.
PI. Ambo suscepimus. EP. Huc igitur intrate.
PI. Eamus, introduc tu capiens nos. EP. Veni.
PI. Sed illud reuoca rursus. EP. Age, videam.
PI. Dic nobis, quomodo egoque & hic
Coerimus vobis volantibus, non volantes?

Σχόλια. Οὐδὲ μελλονικιᾷν.] ὅτι βραδὺς ἦν περὶ τὰς ἐξόδους. καὶ ὡς οἱ διαβάλλοντες, οὐχὶ προνοητικὸς ἦν, ἀλλὰ μελητής. τινὲς δέ φασι διὰ τὸ προνοητικὸν καὶ μὴ προπετὲς τοιοῦτον αὐτὸν εἶναι. Ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν.] ὁ Ἔποψ παρακελεύεται αὐτοῖς εἰς τὴν νεοσσιὰν εἰσελθεῖν, ἵνα αὐτὴν ἀποστάντων χρόνον καιρὸν ἢ πα-